ἄπτονται. πρὸς δὲ τούτοις καὶ ἄλλαι γραῦς τούτων παλαίτεραι προσέρχονται, ἐν αἷς καλὸς ὁ ἀγὼν ποικίλων εὐτραπελιῶν, καὶ σκωμμάτων μεστὸς ἐγείρεται. A

Νε. Εἴθ' ἐξῆν παρὰ τῇ νέᾳ καθεύδειν
Καὶ μηδὲν πρότερον διαποδῆσαι,
Ανάσιμον ἢ πρεσβύτερον. οὐ γὰρ ἀνασχετὸν
Τοῦτό γ' ἐλευθέρῳ.
Γρ. Οἰμώζων ἄρα νὴ Δία σποδήσεις.
Οὐ γὰρ τὰπὶ Χαριξένης ταδὶ ἐστίν.
Κατὰ τὸν νόμον ταῦτα ποιεῖν
Ἐστὶ δίκαιον εἰ δημοκρατούμεθα.
Ἀλλ' εἶμι τηρήσουσ' ὅτι καὶ δράσεις ποτέ.
Αν. Εἴθ' ὦ θεοὶ λάβοιμι τὴν καλὴν μόνην
Ἐφ' ἣν πεπωκὼς ἔρχομαι πάλαι ποθῶν.
Νε. Ἐξηπάτησα τὸ κατάρατον γραΐδιον.
Φρούδη γάρ ἐστιν, οἰομένη μ' ἔνδον μενεῖν.
Νε. Ἀλλ' οὑτοσὶ γὰρ αὐτὸς οὗ μεμνήμεθα
Δεῦρο δὴ δεῦρο δὴ, φίλον ἐμὸν δεῦρό μοι
Πρόσελθε, καὶ ξύνευνός μοι
Τὴν εὐφρόνην ὅπως ἔσει. πάνυ γάρ τις ἔρως με δονεῖ
Τῶνδε τῶν σῶν βοστρύχων.
Ἄτοπος δ' ἔγκειταί μοί τις πόθος
Ὅς με διακναίσας ἔχει.
Μέθες, ἱκνοῦμαί σ' ἔρως. καὶ ποίησον τόνδ' ἐς εὐνὴν
Τὴν ἐμὴν ἱκέσθαι. Νε. δεῦρο δή. δεῦρο δὴ καὶ σύ μοι
Καταδραμοῦσα τὴν θύραν ἄνοιξον
Τήνδ'. εἰ δὲ μὴ καταπεσὼν κείσομαι.
Φίλον, ἀλλ' ἐν τῷ σῷ βούλομαι κόλπῳ
Πληκτίζεσθαι μετὰ τῆς σῆς πυγῆς.
Κύπρι τί μ' ἐκμαίνεις ἐπὶ ταύτῃ;
Μέθες, ἱκνοῦμαί σ' ἔρως. καὶ ποίησον τήνδ' ἐς εὐνὴν
Τὴν ἐμὴν ἱκέσθαι. καὶ ταῦτα μέν μοι μετρίως
Πρὸς τὴν ἐμὴν ἀνάγκην εἰρημένα ἐστί. σὺ δέ μοι
Φίλτατον ὦ ἱκετεύω,
Ἄνοιξον, ἀσπάζου τε. διά τοι σε πόνους ἔχω
Ὦ χρυσοδαίδαλον ἐμὸν μέλημα.
Κύπριδος ἔρνος, μέλιττα Μούσης. Χαρίτων θρέμμα, τρυφῆς πρόσωπον.
Ἄνοιξον, ἀσπάζου με. διά τοι σε πόνους ἔχω.
Γρ. Οὗτος τί κόπτεις; μῶν ἐμὲ ζητεῖς; Νε. πόθεν;
Γρ. Καὶ τὴν θύραν γ' ἤραττες. Νε. ἀποθάνοιμ' ἄρα.
Γρ. Τοῦ δαὶ δεόμενος δᾷδ' ἔχων ἐλήλυθας;
Νε. Ἀναφλύστιον ζητῶν τιν' ἄνθρωπον. Γρ. τίνα;
Νε. Αὐτὸν σὲ βινοῦνθ' ὃν σὺ προσδοκᾷς ἴσως.
Γρ. Νὴ τὴν Ἀφροδίτην ἤν τε βούλῃ γ' ἤν τε μή.
Νε. Ἀλλ' οὐχὶ νυνὶ τὰς ὑπερεξηκοντέτεις

Σχόλια. Τἀπὶ Χαριξένης] εὐήθης καὶ μωρὰ ἡ Χαριξένη. Κείσομαι] ὑπὸ τοῦ ἔρωτος δηλονότι. Ἀναφλύστιον.] παρὰ τὸ ἀναφλᾶν παίζει.

IVVEN. *Vtinam liceret apud iuuenculam dormire,*
*Et nil prius subagitare,*
*Informem vel senem. non enim intolerabile*
B *Hoc libero.*
*AN. Lugens igitur per Iouem subagitabis,*
*Non enim in Charixene hæc sunt.*
*Secundum legem hæc facere*
*Est iustum, si publicè dominatur.*
*Sed vado, obseruans quod & facies aliquando.*
VIR. *Vtinam ô Dei capiam pulchram solam,*
*In quam potus venio diu desiderans.*
C IVV. *Decepi maledictam vetulam,*
*Inanis enim est, putans me intus manere.*
IVV. *Sed hic enim ipse, cuius meminimus.*
*Eia iam, eia iam, amicum meum age mihi*
*Adueni, & coniunx mihi*
*Voluptate vt sis. valde enim aliquis amor me agitat*
*Istorum tuorum capillorum.*
*Absurdum enim iniacet mihi aliquod desiderium,*
D *Quod me tristificans habet.*
*Sine, peruenio tibi Amor, & fac hunc in lectum*
*Meum venire.* IVV. *Eia iam, eia iam & tu mihi*
*Currens ianuam aperi*
*Hanc. si autem non, decidens iacebo*
*Amicum, sed in tuo volo sinu*
*Verberari cum tuo culo.*
*Venus cur me infurias in hoc?*
E *Sine, precor te amor, & fac hunc in lectum*
*Meum venire, & hæc quidem mihi modicè*
*Ad meam necessitatem dicta sunt. tu autem mihi*
*Dilectissimum ô supplico,*
*Aperi, osculare me, propter te labores habeo.*
*O aurum varium, mea cura,*
*Veneris ramus, apes Musæ, Gratiarū nutrimentum, deliciarum vultus.*
F *Aperi osculareque, propter te labores habeo.*
*AN. Hic quid pulsas? nunquid me quæris?* IVV. *vnde.*
*AN. Et ianuam pulsas?* IVV. *moriar igitur.*
*AN. Quo indigens tædam habens venisti?*
IVV. *Testiculos tractantem quærens hominem.* *AN. quem?*
IVVEN. *Ipsum te subagitantem quem tu expectas fortè.*
*AN. Per Venerem siue velis, siue non.*
IVV. *Sed non nunc supra quinquaginta annos*

BISETVS. Τὰς ὑπερεξηκοντέτεις] παίζει παρὰ τὸ τῶν δικαστῶν ἔθος, οἳ τῶν δικῶν τὰς μὲν ἀναβάλλονται, καὶ εἰς ἕτερον χρόνον ἀναφέρουσι, τὰς δὲ παραχρῆμα